## IX

Ζεῦ Πίσης μεδέων Πειθήνορα, δεύτερον υἷα
Κύπριδος, αἰπεινῷ στέψον ὑπὸ Κρονίῳ,
μηδέ μοι οἰνοχόον κυλίκων σέθεν αἰετὸς ἀρθείς
μάρψαις ἀντὶ καλοῦ, κοίρανε, Δαρδανίδου.
εἰ δέ τι Μουσάων τοι ἐγὼ φίλον ὤπασα δῶρον,
νεύσαις μοι θείου παιδὸς ὁμοφροσύνην.

## X

σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
Δωρόθεος γοεροὺς ἔπνεε Δαρδανίδας
καὶ Σεμέλας ὠδῖνα κεραύνιον, ἔπνεε δ' Ἵππου
ἔργματ' ἀειζώων ἁψάμενος Χαρίτων·
μοῦνος δ' εἰν ἱεροῖσι Διωνύσοιο προφήταις
Μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας,
Θηβαῖος γενεὴν Σωσικλέος· ἐν δὲ Λυαίου
νηῷ φορβειὰν θήκατο καὶ καλάμους.

## XI

ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον
ἤκαχον ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι,
νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
ὅττι Θέτιν κύδηνε καὶ υἱέα καὶ μόθον ἄλλων
ἡρώων, Ἰθακοῦ δ' ἔργματα Λαρτιάδεω.
ὀλβίστη νήσων πόντῳ Ἴος, ὅττι κέκευθε
βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.